AKADEMIE DER WISSENSCHAFTEN DER DDR
ZENTRALINSTITUT
FÜR ALTE GESCHICHTE UND ARCHÄOLOGIE

---

BIBLIOTHECA
SCRIPTORVM GRAECORVM ET ROMANORVM
TEVBNERIANA

BSB B. G. TEUBNER VERLAGSGESELLSCHAFT
1984

# GEORGII SYNCELLI
# ECLOGA CHRONOGRAPHICA

EDIDIT

ALDEN A. MOSSHAMMER

BSB B. G. TEUBNER VERLAGSGESELLSCHAFT
1984

δὲ ἀνεῖλεν Ἀρβάκης ὁ Μῆδος καὶ Βελεοῦς ὁ Βαβυλώνιος, καὶ μετήγαγεν
677 εἰς Μήδους τὴν βασιλείαν. ἐβασίλευσαν οὖν οἱ Ἀσσύριοι ἔτη ͵ατς΄. οὕτω γὰρ λέγοντι Κτησίᾳ καὶ Διόδωρος ὁ Σικελιώτης συμφθέγγεται. τῶν δὲ Μήδων λ΄ ἔτη βασιλευσάντων, τὸν ὕστατον βασιλέα Μήδων Ἀστυάγην Κῦρος καθεῖλεν ὁ Πέρσης καὶ εἰς Πέρσας τὴν ἡγεμονίαν μετήγαγεν.

Ἐβασίλευσαν δὲ οἱ Πέρσαι ἔτη σκη΄ μέχρις Δαρείου τοῦ Ἀρσάμου, ὃν νικήσας ὁ Φιλίππου Ἀλέξανδρος Μακεδόσι τὴν Περσῶν βασιλείαν παρέδωκεν. ἐκράτησαν δὲ τῆς Περσικῆς ἀρχῆς Μακεδόνες ἔτη σγ΄, οὓς ἐκβαλὼν Ἀρσάκης ὁ Παρθυαῖος Πάρθοις τὴν βασιλείαν Περσῶν παρέδωκεν· ἔνθεν καὶ Ἀρσακίδαι οἱ βασιλεῖς Περσῶν ὀνομάζονται.

Ἐβασίλευσαν δὲ Πάρθοι ἀπὸ Ἀρσάκου ἀρξάμενοι μέχρις Ἀρταβάνου ἔτη σο΄. ἐβασίλευσε δὲ Ῥωμαίων ὁ Μαμμαίας Ἀλέξανδρος, ἡνίκα Ἀρτάβανος ὁ Πάρθος Περσῶν ἐβασίλευσε. μετὰ δὲ τὸν Ἀρτάβανον τὸ γένος Χοσρόου βασιλεύειν ἤρξατο. ἤρξατο δὲ οὕτως· Ἀρταξέρξης Πέρσης ἀφανής τε καὶ ἄδοξος ἀθροίσας ἄνδρας ἀτάκτους ἀνεῖλεν Ἀρτάβανον καὶ περιέθετο κίδαριν, καὶ αὖθις Πέρσαις ἐπανήγαγε τὴν βασιλείαν. ἦν δὲ μάγος καὶ ἐξ ἐκείνου οἱ μάγοι γεγόνασι παρὰ Πέρσαις ἐπίδοξοι. λέγουσι δὲ τὴν τοῦ Ἀρταξέρξου μητέρα ἀνδρὶ συνοικεῖν Παβεκῷ τοὔνομα σκυτοτόμῳ μὲν τὴν τέχνην, ἀστρολόγῳ δὲ καὶ περὶ ταῦτα ἐνησκημένῳ. στρατιώτην δὲ
678 ὀνόματι Σάνανον διὰ τῆς Καδουσαίων πορευόμενον χώρας ὑποδεχθῆναι εἰς τὸν οἶκον Παβεκῷ, καὶ προγνῶναι δῆθεν διὰ τῆς ἀστρολογίας τὸν Παβεκὸν ὅτι δὴ ἡ τοῦ Σανάνου γονὴ ἐπὶ μέγα εὐδαιμονίας ἀρθήσεται. μὴ ἔχων δὲ θυγατέρα ἢ ἀδελφὴν ἢ ἄλλο πρὸς γένος συναπτόμενον γύναιον, συγκατέκλινε τὴν ἰδίαν γαμετὴν τῷ Σανάνῳ, καὶ συλλαβοῦσα ἔτεκε τὸν Ἀρταξάρην.



Ἐξ ἐκείνου τοίνυν τοῦ Ἀρταξάρου τοῦ καὶ Ἀρταξέρξου τὸ Χοσρόου κατάγεται γένος. ἐβασίλευσαν δὲ οὕτως·

Ἀρταξάρης, ὁ καὶ Ἀρταξέρξης, ἔτη ιε΄. τῷ τετάρτῳ ἔτει τῆς βασιλείας Ἀλεξάνδρου τοῦ Μαμμαίας.
Σαπώρης ἔτη λα΄.
Ὁρμίσδας ἔτος α΄.
Οὐραράνης ἔτη γ΄.
Οὐραράκης ἔτη ιζ΄.
Οὐραράνης ἔτος α΄, ἄλλος δ΄.
Ναρσῆς ἔτη η΄.
Ὁρμίσδας ἔτη η΄.
Σαβώρης ἔτη ο΄. τούτῳ δέδωκεν Ἰοβιανὸς τὴν Νίσιβιν.
Ἀρταξὴρ ἔτη δ΄.
Σαβὼρ υἱὸς Ἀρταξὴρ ἔτη ε΄.
Οὐραράνης ἔτη ια΄. 679
Οὐραράνης ἄλλος ἔτη κ΄.
Ἰσδιγέρδης ἔτη κα΄.
Περόζης ἔτη κδ΄.
Ἰσδιγέρδης ἔτη ιζ΄.
Καβάδης ἔτη ια΄, καὶ ἐξεβλήθη.
Οὐάλας ἔτη δ΄.
Καβάδης πάλιν ἔτη λ΄.
Ζαμάσπης ἔτη δ΄.
Ὁρμίσδας ἔτη ιε΄.
Χοσρόης υἱὸς Καβάδου ἔτη μη΄.
Χοσρόης ὁ μέγας, ὁ ἐπὶ Ἡρακλείου ἀναιρεθεὶς ὑπὸ Σιρόου υἱοῦ αὐτοῦ